ταῦτα ταραχὰς αἱ ἐκκλησίαι ὑμῶν ὑπομείνωσι· τῶν δὲ λεγόντων μὴ αὐτῶν
τὴν περὶ τούτου ψῆφον ἐπιτρέπειν, ἄλλος γὰρ ἄλλο κριτήριον ἔχοντες, οὐ-
δαμῶς τὸν αὐτὸν ὀνομάσαι μέλλειν, ἀλλ' αὐτόν σε ἀναδεικνύειν ἀξιοῦμεν· ὃν βούλει, αἱ-
ρούμεθα, οὐκοῦν ἔφη ὁ Παῦλος ἔγγραφόν μοι τὴν ὁμολογίαν ταύτην ἐπίδοτε,
ὅτι τοῦτον αἱρεῖσθε ὃν ἂν ἐγὼ αὐτὸς ψηφίσωμαι· τῶν δὲ τοῦτο ποιησάντων
καὶ ὑπογραψάντων, αὐτὸς ἅμα καθίσας ἐπὶ τῆς κλίνης καὶ λαθὼν τοὺς παρόντας,
ἐγγράφει τὸ ὄνομα Μαρκιανοῦ· ὃς ἐν μὲν τῇ τῶν πρεσβυτέρων τάξει ἐτέ-
τακτο· καὶ ὑπ' αὐτῷ τὸν ἀσκητικὸν ἐπαιδεύετο βίον, ἀπεδήμει δὲ τηνικαῦτα·
εἶτα σφραγίσας αὐτὸ καὶ τῷ πρώτῳ τοῦ πρεσβυτερίου ἐπισφραγίσαι ποιήσας,
παρέθετο τοῦτο τὸ βιβλίον Μαρκιανῷ, ὃς τῆς ἐν Σκυθίᾳ Μαρκιανουπόλεως ἐπίσκοπος
ἦν, τότε δὲ ἐπεδήμει τῇ πόλει, καὶ τάδε ἔφη πρὸς αὐτόν· εἰ μὲν θέλει με ὁ θεὸς ἔτι
περιεῖναι, εἰς τὸν δὲ τὸν χρόνον, τὴν δέ μοι παρακαταθήκην φυλάξας ἀπό-
δος· εἰ δέ με δοκεῖ αὐτῷ μεταστῆσαι, ἐν τούτῳ εὑρήσεις τὸν ὑπ' ἐμοῦ μετ' ἐμὲ
ψηφισθέντα ἐπίσκοπον· ταῦτα εἰπὼν ἐτελεύτησε. τρίτης οὖν μετὰ τὴν
τελευτὴν ἡμέρας, ἀνελίξαντες τὸ βιβλίον ἐπὶ πλήθους πολλοῦ καὶ εὑρόντες
τὸ Μαρκιανοῦ ὄνομα, πάντες μὲν ἄξιον εἶναι ἐβόων· καὶ μὴ μελλήσαντες,
ἐξαπέστειλαν τοὺς συλληψομένους αὐτόν· ὁ δὲ δόλῳ ἀγαθῷ ἐν Τιβερίου
πόλει τῆς Φρυγίας διάγοντα, συλλαβόντες ἄγουσι· καὶ περὶ τὴν μίαν καὶ
δεκάτην αὐτοῦ μηνὸς χειροτονηθέντα ἐνθρονίζουσι. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον εἰρήσθω:

Ὡς ὁ βασιλεὺς Θεοδόσιος Εὐδοκίαν τὴν ἑαυτοῦ γαμετὴν εἰς τὰ Ἱεροσόλυμα ἐξέπεμψεν

Ὁ μέντοι βασιλεὺς Θεοδόσιος, χαριστηρίους εὐχὰς ἀνθ' ὧν ἀεὶ μεγάλα εὐηργετεῖτο μϛ
προσέφερε τῷ θεῷ· καὶ ταῦτα ἐποίει ἐξαιρέτοις τιμῶν γέρασι τὸν Χριστόν· καὶ τὴν
γαμετὴν Εὐδοκίαν ἐπὶ τὰ Ἱεροσόλυμα ἐξέπεμπε· καὶ γὰρ αὕτη ταύτην
εὐχὴν ἐπιτελέσειν ἐπηγγέλλετο, ἐὰν τὴν θυγατέρα γαμηθεῖσαν ἐπόψεται·
ἀλλὰ αὕτη μὲν καὶ τὰς περὶ Ἱεροσόλυμα ἐκκλησίας καὶ πάσας τὰς ἐν τῇ
ἀνατολῇ κατὰ πόλεις ποικίλως ἐτίμησεν, ἔν τε τῷ ἀπιέναι καὶ αὖθις ἐπ-
ανιοῦσα:

Περὶ Θαλασσίου τοῦ Καισαρείας Καππαδοκίας ἐπισκόπου: μζ

Πρόκλος δὲ ὁ ἐπίσκοπος κατὰ τὸν αὐτὸν τοῦτον χρόνον, περὶ τὴν ἑπτακαι-
δεκάτην ὑπατείαν τοῦ βασιλέως, πράγματι θαυμαστῷ ἐπεχείρησε,
καὶ οἷον οὐδεὶς τῶν πάλαι ἐπισκόπων πεποίηκε· Φιρμοῦ γὰρ τοῦ ἐπισκό-
που τῆς ἐν Καισαρείᾳ τῆς Καππαδοκίας τελευτήσαντος, παρῆσαν
Καισαρεῖς ζητοῦντες ἐπίσκοπον· ὡς δὲ ἐπεσκέπτετο τίνα πρὸς τὴν ἐ-
πισκοπὴν προχειρίσαιτο, συνέβη κατὰ ταῦτα αὐτοῦ ἐν ἡμέρᾳ σαβ-
βάτου, πάντας τοὺς τῆς γερουσίας συγκλητικοὺς ἐπὶ τὴν ἐκκλησίαν
παρεῖναι· ἐν οἷς ἦν καὶ Θαλάσσιος, ἀνὴρ τὴν ὕπαρχον χειρίσας ἀρχὴν